# ΚΡΗΤΙΚΑ ΠΑΛΑΙΟΓΡΑΦΙΚΑ

13*

## ΕΠΙΣΤΟΛΑΙ ΤΟΥ ΓΕΩΡΓΙΟΥ ΚΑΛΥΒΑ

Εἰς τὸ περιοδικὸν «Byzantinische Zeitschrift» τοῦ 1925 περιεγράφη ὑπὸ R. Vetschera ὁ κῶδιξ Vindobonensis theologicus graecus 227 καὶ ὑπεδείχθη ἡ διὰ τὴν Κρητικὴν γραμματείαν τοῦ 16. αἰῶνος ἰδιαιτέρα σημασία του [1]. Ὁ κῶδιξ οὗτος περιέχει μικρὰς θεολογικὰς πραγματείας καὶ διαφόρους ἐπιστολὰς τοῦ μέχρι τῆς ὑπὸ R. Vetschera περιγραφῆς του ἀγνώστου Κρητὸς λογίου ἱερέως Γεωργίου Καλύβα, ἀκμάσαντος κατὰ τὸ πρῶτον ἥμισυ τοῦ δεκάτου ἕκτου αἰῶνος. Ὅπως προκύπτει ἀπὸ τὰ εἰς τὸν κώδικα εὑρισκόμενα στοιχεῖα ὁ Γεώργιος Καλύβας ἀπῆλθεν μικρὸς εἰς Ῥόδον, ἐπανῆλθεν ἐξ αὐτῆς, ἔπειτα ἀπὸ τὴν κατάληψίν της ὑπὸ τῶν Ὀθωμανῶν, εἰς Κρήτην, ἐγκατεστάθη δὲ μονίμως εἰς Σητείαν, ὡς ἱερεύς, διδάσκαλος καὶ κωδικογράφος, ἐκεῖ δὲ συνεκέντρωσεν εἰς ἑνιαῖον σῶμα τὰς θεολογικὰς πραγματείας καὶ ἐπιστολάς του εἰς τὸν ὑπὸ τὰ ὡς ἄνω στοιχεῖα κώδικα τὸν εὑρισκόμενον τώρα εἰς τὴν συλλογὴν κωδίκων τῆς Oesterreichische Nazionalbibliothek τῆς Βιέννης [2]. Πρόκειται περὶ ἀξιολόγου προσωπικότητος, ἀποτελούσης χαρακτηριστικὸν παράδειγμα τῶν προϋποθέσεων ἐκείνων ἐκ τῶν ὁποίων ἀνεπτύχθη ἀπὸ τὰ μέσα τοῦ δεκάτου ἕκτου αἰῶνος καὶ πέραν ἡ κρητικὴ λογοτεχνία καὶ ἡ Κρητικὴ σχολὴ τῶν κλασικῶν φιλολόγων καὶ τῶν θεολόγων. Ὁ εἰς ἀπομεμονωμένην πολίχνην τῆς Σητείας ἱερουργῶν Γεώργιος Καλύβας ἀσχολεῖται μὲ θεολογικὰ ζητήματα, μελετᾷ κλασικοὺς συγγραφεῖς, συχνὰ δὲ ἀλληλογραφεῖ μὲ φίλους του· ἀπὸ τὰς εἰς τὸν ὡς ἄνω κώδικα συμπεριλαμβανομένας ἐπιστολὰς πρὸς τὸν Γεώργιον Καλύβαν ὑπὸ φίλων του, φαίνεται ὅτι ὁ Γεώργιος Καλύβας εἶχε κερδίσει τὴν συμπάθειαν, τὴν ἀγάπην καὶ τὸν σεβασμὸν ἐκλεκτῆς ὁμάδος φίλων του. Ἰδιαιτέρως ἐνδιαφέρουσα εἶναι ἡ ἀλληλογραφία του μὲ τὸν μαθητήν του Ἰάκωβον, τὸν ὁποῖον συμβουλεύει, ἐνθαρρύνει, παρηγορεῖ, ἐπιμόνως δὲ παροτρύνει εἰς τὴν μελέτην τῆς ἑλληνικῆς γραμματείας.

Πρὸς καλυτέραν γνωριμίαν τοῦ Γεωργίου Καλύβα δημοσιεύω κατωτέρω μερικὰς ἀπὸ τὰς εἰς τὸν κώδικα Vindobonensis theologicus graecus 217 συμπεριλαμβανομένας ἐπιστολάς του, εὐχαριστῶν θερμῶς τὸν διευθυντὴν χειρογράφων τῆς Αὐστριακῆς Ἐθνικῆς Βιβλιοθήκης

---

*) Βλ. «Κρητικὰ Χρονικὰ» Ε', σ. 231 κ. ἑξ.

[1]) Vetschera R., Georgios Kalybas, Byzantinische Zeitschrift» XXV, 1924, 51-59.

[2]) Πρβλ. Nessel D., Catalogus codicum manuscriptorum graecorum, Vindob. 1690, 324-25.

Institutional Repository - Library & Information Centre - University of Thessaly
02/06/2024 10:38:17 EEST - 18.116.87.75

τῆς Βιέννης κ. Franz Unterkircher, ὅστις προθύμως μοῦ ἀπέστειλεν φωτογραφίας τοῦ κώδικος καὶ εὐγενῶς ἐπέτρεψε τὴν δημοσίευσιν ταύτην εἰς τὰ «Κρητικὰ Χρονικά».

1.

I.f 155 *Πρὸς τὸν αὐτοῦ φοιτητὴν Ἰάκωβον.*

*Φίλτατε ἀδελφέ, ὑγιαίνοις ζῶντι καὶ αὐτῷ.*

*Ἀνέγνων ἡδέως τὴν σὴν ἐπιστολὴν καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις. Τῆς μὲν οὖν ἀγχινοίας δι᾽ ἣν αὐτοδίδακτος οὕτως ἐπιστέλλεις, τῷ θεῷ χάρις, ἐξ οὗ πάντα τἀγαθὰ ἀπόνως τοῖς ἀνθρώποις προσγίνεται. Καὶ ᾧ σύ τε αὐτός πλείστας χάριτας εἰδέναι ὀφείλεις καὶ ἡμεῖς οἱ φίλοι. Δῶρον γάρ σοι μέγιστον δεδώρηται, οὗ προσόντος μὲν τοῖς φιλομαθέσι πάντα ῥάδια, ἀπόντος δὲ οὔτε φιλοπονία, οὔτε διδασκαλία ὠφελεῖ. Ἐπεὶ οἱ ἐν σαρκὶ ζῶντες θεῷ ἀρέσαι οὐ δύνανται. Τῆς δὲ περὶ ἐμέσου εὐγνωμοσύνης δι᾽ ἣν ταῦτα φρονεῖς καὶ λέγεις, ἃ ἄλλοις ἂν εἴη προσήκοντα, | αἴτιος οὐκ*

155v *αὐτός, οὔτε γὰρ τοιοῦτος, οἷον αὐτὸς διαγράφεις, οὔτ᾽ αὐτὸς παρ᾽ ἐμοῦ εὐεργετημένος τυγχάνεις· ἀλλὰ σὺ χρηστὸς ὢν καὶ φιλομαθὴς καὶ φιλάρετος· ὁ γὰρ τοιοῦτος φύσει πάντας φιλεῖ καὶ ἐπαινεῖ, ἀγαθοὺς εἶναι οἰόμενος, ἢ καὶ τούτοις παρακαλῶν ἐπ᾽ ἀρετῇ — τοὺς γὰρ ἐπαίνους ἴσμεν τῶν ἐπαινουμένων τι κέντρον εἶναι εἰς ἀρετὴν — ἵνα τοιοῦτοι φανῶσιν οἷοι ἂν λέγωνται, φιλαληθεῖς τε τοὺς ἐπαινέτας ἀποδείξωσι. Ταῦτα τοι καὶ ἀσμένως ὑποφέρειν δεῖ καὶ μὴ θορυβεῖσθαι, εἰ καὶ μὴ τοιοῦτοι τυγχάνωσιν ὄντες· ἀλλὰ ταῦτα μὲν τοῖς διώκουσιν ἀφῶμεν· σὺ δὲ οὕτω φρόνει περὶ ἐμοῦ ὡς κἀγώ, ἵνα σύμφωνοι ὦμεν, τῆς δὲ φιλοπονίας τῶν λόγων ἀν-*

156 *τέχεσθαι | παραινῶ· οὔτε γὰρ κρείττω ἐμπορίον ἐμπορεύσῃ, οὔτε ἀμείνω κόσμος ἀρετῆς καὶ λόγων· εὐφυὴς δ᾽ ὢν ἀδικοίης ἂν σαυτὸν τὰ μέγιστα παιδείας ἀποληφθείς. Σπούδασον δὴ παντὶ σθένει καὶ τοῖς αὐτόθι σοφοῖς ὁμίλει καὶ γραμματικοῖς ἀκροῶ, ἐξ ἧς καὶ τ᾽ ἄλλα μαθεῖν εὐχερές· καὶ τοῦτα πρὸς τὴν σὴν ἀγάπην ἐπιτροχάδην ὡς ἡμεδαπὸν ἐσχεδίασα. Χαῖρε γὰρ καὶ γράφε καὶ τοὺς φιλοῦντας ἄσπασαι.*

2.

II. *Ἧκε πάλιν ἡμῖν τὰ εἰωθότα, χαρίεντα μὲν καὶ εὐφραδῆ, οὐκ ἄνευ μὲν τῶν κατ᾽ ἐμοῦ ἐγκωμίων. Τοῦτο γὰρ πεποίηκας, εἰδὼς τοὺς ἐπαίνους τεκμήριον μὲν φιλίας, παράκλησιν περὶ τὰ καλά, οἷς οὐ μόνον οἱ ἄνθρωποι βελτίους ἑαυτῶν γίγνονται, ἀλλὰ καὶ*

56v *ἄλλους ὠ | φελοῦσιν, ἵνα ἐπαινέται τύχωσιν· σὺ δὲ φύσει χρηστὸς γενόμενος ἔργοις τε καὶ λόγοις ἀμείβῃ τοῖς φίλοις, εὐγνώμονος ψυ-*

Institutional Repository - Library & Information Centre - University of Thessaly
02/06/2024 10:38:17 EEST - 18.116.87.75

χῆς καθῆκον ποιῶν καὶ πρὶν εὖ παθεῖν χάριτας ὁμολογούσης. Ὁ
μὲν Ἀγαμέμνων δέκα συμφράδμονας ὁμοίους τῷ Νέστορι προ-
σηύχετο ἔχειν, οἷς εὐχερέστερον τὸ Ἴλιον ἁλῶναι ἤλπιζεν. Ἐγὼ δὲ
εὐξαίμην δέκα Ἰακώβους ὡς σοὶ ἐν Κρήτῃ εἶναι, οἷς ἡ τῶν Ἑλ-
λήνων φωνὴ ἀνακαινισθείη. Σπούδασον τοίνυν ὅσῃ σοὶ δύναμις
ἵνα ἐπιδοὺς καὶ ἄλλοις ὄφελος γένοιο. Ἔχεις γὰρ κίονα ἀστραβῆ
τὸν ἱεράρχην Ἀρσένιον, ᾧ τὴν σὴν ἑστίαν ἀσφαλίσεις. Σύ τε γὰρ
εὐγνώμων ὢν ἄξιος τυχεῖν ὅτου ἂν δεηθείης, αὐτὸς ἐλευθέριος πε-
157 ρὶ τοὺς σπουδαίους, φιλόσοφος ὢν καὶ | περιβόητος. Μὴ κατόκνει
δὲ πρὸς τοὺς ἄλλους ἀφορῶν, ἀλλὰ τὸ κόσμιον ἐννοῶν καὶ τὸ τοῦ
λόγου εὐγενὲς καὶ τίμιον· οἷος γὰρ εἴης τὴν τύχην, τὸ εἰδέναι ἄξι-
ον. Ἀλλὰ ταῦτα μὲν ἄμεινον ἐμοῦ λέγοντος δράσεις, ἅπαξ τοῦ
ποτίμου γευσάμενος.

3.

III. Φίλτατε ἀδελφέ, ὑγιαίνεις εὐτυχῶς ζῶντι τε καὶ αὐτῷ. Ἧκεν
ἡμῖν τὰ σὰ χρόνια μέν, ἥδιστα δὲ τῷ γὰρ παρὰ σοῦ ἀφῖχθαι καὶ
τὸ οὕτως αὐτὰ ἐλλογίμως γεγράφθαι, ὥσπερ παρὰ τοῦ ταῖς μού-
σαις κατόχου. Εἰ δὲ τοιαῦτα ἀμύητος ἐπιστέλλεις, τί ἂν ἐποίης με-
μυημένος καὶ τοῦ νέκταρος ἐκείνου γευσάμενος. Χαίρων δὲ τῇ σῇ
ἀγχινοίᾳ δι᾽ ἣν σοφὸς φυᾷ γενόμενος, τὰ μικρὰ ἐκεῖνα σπερμάτια
157v αὔξεις καὶ τοῖς λόγοις ἐνασχολούμενος παρὰ πάντων ὀνομάζῃ· |
ἐμφοροῦ δι᾽ αὐτῶν καὶ ὡς κτῆμα ἀθάνατον καὶ τῇ ψυχῇ κόσμιον
οἷον, ἵνα τῶν πολλῶν διαφέρῃς. Λογικοὶ γὰρ ὄντες καὶ τοῦτο μό-
νον τῶν ἀλόγων διαφέροντες, εἰ καὶ σοφίας προσποιούμενοι πολ-
λῷ καὶ τῷ λογικῷ διοίσομεν. Ἀλλὰ ταῦτα μὲν οὕτω ποιήσεις σπου-
δαῖος ὢν καὶ πέρας ἄμεινον τῇ ἀρχῇ ἐπιθήσεις.

4.

XVII. Ἐπιστολὴ εἰς τὸν ἅγιον ἔξαρχον καὶ μεγαρήτορα.
Αἰδεσιμώτατε ἐν κυρίῳ, ὁσιώτατε, ἰσάγγελε, χρηστοήθη, θεοδί-
δακτε· κῆρυξ καὶ ἔξαρχε οἰκουμενικέ, φωστὴρ τῆς ὑφηλίου, κύριε
171 Ἀντώνιος. Τοῦ θεοῦ δέομαι τοῦ ὑγιαίνειν | σε κατὰ τὸν διπλοῦν
ἄνθρωπον καὶ περὶ πάντων εὐοδοῦσθαι. Οὐκοῦν ὁ παρὼν ἱερεὺς
τοὔνομα Κωνσταντῖνος, ὁ τὴν παροῦσαν κομίζων συλλαβήν, ἐκ μι-
ᾶς καὶ τῆς αὐτῆς δελφύος ὁμαίμων μοι πέφυκεν, ὅστις ἐλεύσεται
πρὸς ὑμᾶς διά τινα συκοφαντίαν, ἣν ὑπέστη ἀδίκως διὰ ψιλῶν
καὶ μόνον ῥημάτων, μεσολαβοῦντος καὶ τοῦ φθόνου, παρά τινος
ἀσέμνου καὶ μοχθηρᾶς γυναικός, οὐ μόνον ἑταιρίδος κοὶ βεβακχευ-
μένης ἐξ ἁπαλῶν γεγοννίας τῶν ὀνύχων, ὡς πάντες ἴσασιν, ἀλλὰ καὶ
μοιχαλῖδος χρηματισάσης τὸ ὕστερον, ἥτις τὸν ἴδιον καταλιποῦσα

Institutional Repository - Library & Information Centre - University of Thessaly
02/06/2024 10:38:17 EEST - 18.116.87.75

*σύνευνον, προσεκολλήθη τινὶ τοῦ τῆς λαιᾶς ἀντεχομένου μερίδος*
171v *διὰ τὸ ἀκόλαστον, ἅ, εἰ καὶ ἡμεῖς ταῦτα σιω | πήσομεν, οἱ λίθοι*
*σωρηδὸν κεκράξονται· αὕτη γὰρ ἡ μαινὰς τὸ ἄτοπον τουτὶ γλώσ-*
*σῃ δολίᾳ κατὰ τοῦ θύτου δολορραφήσασα μετά τινος, οὐ μόνον*
*σώφρονος καὶ κοσμίας, ἀλλὰ καὶ προβεβηκυίας, ἐξώρου καὶ παρ-*
*ηλίκου ἐπέκεινα ἐνιαυτῶν τῶν ἑξήκοντα ἰσχνὴν τὸ σωμάτιον, ἐρυ-*
*τιδωμένην τὸ πρόσωπον καὶ τὸ δὴ μεῖζον καὶ χαλεπώτατον, ὅτι*
*καὶ δυοῖν παιδίοιν, φεῦ, ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους ἀναδεξα-*
*μένης βαπτίσματος — φρῖξον ἥλιε! — τοίνυν ἐρεύνησον τὸ συμβὰν*
*καὶ τὸ γεγονὸς ἐπιμελῶς βασάνισον καὶ κατὰ τὰς τῶν ἱερέων μαρ-*
*τυρίας τὰς πρός σε νῦν ἀφικομένας, τὸ κατ' ἀξίαν ἑκάστῳ ἀπό-*
*νειμον· δύνασαι γάρ· ὅτι αἱ ἡνίαι τῆς ἀκραιφνοῦς ἡμετέρας ἁγίας*
*πίστεως ἐν τῇ δρακὶ νῦν τῇ σῇ παρὰ τοῦ κρείττονος ὡς οἰκονό-*
*μου πιστοῦ ἐνεπιστεύθησαν· ἀλλὰ καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ κυ-*
*ρίῳ ἡμῶν Ἰωακεὶμ διὰ γραφῆς τοῦτο σεσαφηνίκαμεν, ὅστις διὰ*
172 *γραμμάτων οἰκειοχείρων τὴν ἐξέτασιν γενέσθαι τοῦ | δράματος*
*παρὰ τοῖς ἡμεδαποῖς ἱερεῦσι διετάξατο, οἵτινες διὰ τὸ τοῦ κρατοῦν-*
*τος δέος οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ· καὶ περὶ μὲν τούτων*
*ἀπόχρη.*

5.

XVIII. *Ἐντιμώτατε, χρησιμώτατε καὶ τῷ ὄντι σπουδαιότατε, ἡμῖν δὲ*
*ἄγαν περιπόθητε κύριε Γεώργιε Καλύβα. Χαίροις καὶ εὖ ἔχοις, ὡς*
*ἂν θεῷ αὐτὸς εὔξαιο, καραδοκῶν ἐξ αὐτοῦ ἀρρωγὴν παρακλήσε-*
*ως ψυχῆς τε καὶ σώματος καὶ ὑπερευχόμενος ἡμῶν φίλων ὄντων.*
*Περιχαρῶς σου ἐδεξάμην τὰ γράμματα, δι' ὧν τὸ μὲν ἐχάρην, τὴν*
*σὴν ὑγίειαν μεμαθεικὼς καὶ ἐφήσθην τῇ ἀγχινοίᾳ τῶν λέξεων, τὸ*
*δὲ ὅτι σε πολλῶν συμφορῶν καὶ κινδύνων ἔναγχος περικυκλωσάν-*
*των, ῥᾷστα ἐρρύσασο, εἰς τὸ αὐτοῦ σε ὡς λύχνον φωταυγείᾳ ἐν*
*σκοτομαίνῃ τῆς τῶν αὐτόθι ἀγνωσίας ἐφάψασθαι, φωτίζονται ταῖς*
172v | *τοῦ λόγου βολίσιν ἐν θείῳ ζήλῳ οὐ πάντων μέντοι, ἀλλὰ τὰς*
*τὸν Κύριον ζητούντων ψυχάς, νομοθετῶν, διδάσκων, ἐσθ' ὅτε και-*
*ροῦ καλοῦντος, καὶ ἀναπτύσσων τὰς θείας γραφὰς ἐπ' ἐκκλησίαις*
*πρὸς τὴν τῶν ἐντυγχανόντων διψαλέως ὠφέλειαν. Εἶεν. Κύριος φυ-*
*λάττοι σου τὴν λογιότητα. Ἔρρωσο, καὶ ἡμᾶς εἴτε παρόντας, εἴτ'*
*ἀπόντας φίλει φιλοῦντας σε. Ἀντώνιος μοναχὸς τῆς τοῦ θεοῦ*
*μεγάλης ἐκκλησίας, κῆρυξ καὶ ἔξαρχος πατριαρχικός.*

6.

XXIII. f 175v *Γεώργιος πρός τινα ἱερέα.*
*Εὐλαβέστατε ἐν ἱερεῦσι καὶ τετιμημένε δέσποτα, ἐμοὶ δὲ λίαν*

Institutional Repository - Library & Information Centre - University of Thessaly
02/06/2024 10:38:17 EEST - 18.116.87.75

*ἠγαπημένε καὶ ἐν πλαξὶ καρδίας γεγραμμένε καὶ πεφιλημένε δι-*
176 *δάσκα | λε· τοῦ θεοῦ δέομαι τοῦ ὑγιαίνειν τὴν σὴν ἁγι ότητα κατὰ*
*τὸν διπλοῦν ἄνθρωπον καὶ κατευοδοῦσθαι ἐπὶ πᾶσιν, οὗ τῷ ἐλέει*
*καὐτὸς ὑγιαίνω τῷ σώματι καὶ τοῦτο μετρίως· ἥσθην γὰρ ἐνηχού-*
*μενος παρὰ πᾶσι σχεδὸν τὸ φιλομαθέ στατον καὶ τὸ ἐν λόγοις σοι*
*πολυσπούδαστον· καὶ τοῦτο εἰκότως δρᾶς· ἐπείπερ τοὺς πολυτελεῖς*
*μαργαρίτας διὰ παντὸς ταῖν χεροῖν ἐ πιφέρεις καὶ τούτους πρὶξ κα-*
*τέχεις, οἵτινες πάσης λέξεως πεζῆς τε καὶ ἐμμέτρου τυγχάνετον θέ-*
*μεθλοι, οὐ μόνον τῶν ἁλιέων καὶ παντὸς θείου διδασκάλου, ἀλ-*
*λὰ καὶ τῶν θύραθεν. Γνω στὸν ἔστω τῇ σῇ ἁγιότητι, ἐξ ὅτου τῶν*
176v *ἡμετέρων οἰκιῶν τε καὶ προαυλίων ὁ τοῦ Ἰσμαὴλ ἡμᾶς | ἀπήλα-*
*σε σκύμνος, ἐκεχειρίαν τοῖς ἐμοῖς οὐκ ἔδωκα ποσίν, οὐδὲ τοῖς βλε-*
*φάροις ὕπνον εἰς κόρον, ἀλλὰ σὺν τῇ βοηθῷ καὶ φιλτάτοις τόπον*
*ἐκ τόπου καὶ οἰκίαν ἐξ οἰκίας καὶ ὄρεσι κραναέσι καὶ δυσβάτοις*
*τόποις, λιμῷ καὶ δίψει πιεζόμενος ἄκρα, μέχρις οὗ κατηντήσαμεν*
*εἰς κώμην τινὰ Ὀρεινὴν καλουμένην, κώμην οὐ μόνον τῶν ἀναγ-*
*καίων ἐπιδεῆ, ἀλλὰ καὶ παντὸς ἐδωδίμου. Δι᾽ ὃ δεῖ ἡμᾶς τὸν θε-*
*ὸν εὐχαριστεῖν καὶ δοξάζειν ἐπὶ τοῖς παρ᾽ ἐλπίδα συμβεβηκόσιν,*
*ὅτι, εἰ καὶ πρὸς ὀλίγον ἐπαίδευσεν ἡμᾶς διὰ τὰς ἀνομίας ἡμῶν*
*καὶ τῶν προσόντων αὖθις ἐψίλωσεν, ἀλλὰ τῷ θανάτῳ οὐ παρέδω-*
*κεν. Γένοιτο δὲ καὶ ἡμᾶς ἀλλήλους ἰδεῖν καὶ τρυφῆσαι πνευματι-*
*κῶς ὡς θεῷ φίλον καὶ συνεῖναι ἕως οὗ ὁ ἄπειρος ἐκεῖνος αἰὼν*
*ἡμᾶς διαδέξηται, ὁ διαστήματι χρόνου καὶ ἡλίου φορᾷ μὴ μετρού-*
*μενος.*

Ἐκ τῶν ὡς ἄνω δημοσιευομένων ἐπιστολῶν αἱ τρεῖς πρῶται ἀπευθύνονται ὑπὸ τοῦ Γεωργίου Καλύβα πρὸς τὸν μαθητήν του Ἰάκωβον, ὁ ὁποῖος μελετᾷ τὴν ἑλληνικὴν γραμματείαν. Ἡ ὡραία εὐχὴ τοῦ Γεωργίου Καλύβα: «*Ἐγὼ δὲ εὐξαίμην δέκα Ἰακώβους ὡς σοὶ ἐν Κρήτῃ εἶναι, οἷς ἡ τῶν Ἑλλήνων φωνὴ ἀνακαινισθείη*», ἐπραγματοποιήθη ὀλίγον ἀργότερον εἰς αὐτὴν ταύτην τὴν Σητείαν, διὰ τῆς δημιουργίας τοῦ «Ἐρωτοκρίτου». Ἡ τετάρτη ἐπιστολὴ εἶναι συστατικὸν συνοδεῦον τὸν ἀδελφὸν τοῦ Γεωργίου Κωνσταντῖνον, ἱερέα καὶ αὐτόν, ὅστις πρόκειται νὰ παρουσιασθῇ εἰς τὸν ἔξαρχον τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως Ἀντώνιον δι᾽ ὑπόθεσίν του· δὲν εἶναι σαφὲς περὶ τίνος ἀκριβῶς πρόκειται. Φαίνεται πάντως ὅτι ὁ Κωνσταντῖνος ἔπεσε θῦμα «σουχλικῶν» δύο γυναικῶν. Ἡ πέμπτη ἐπιστολὴ εἶναι ἀπάντησις τοῦ ἐξάρχου εἰς τὸ συστατικὸν τοῦ Γεωργίου. Ἐνδιαφέρον βιογραφικὸν ἔχει ἡ ὡς ἕκτη δημοσιευομένη ἐνταῦθα ἐπιστολή. Ἡ κώμη «Ὀρεινὴ» εἰς τὴν ὁποίαν κατέφυγεν ὁ Γεώργιος Καλύβας εἶναι ἀναμφιβό-

Institutional Repository - Library & Information Centre - University of Thessaly
02/06/2024 10:38:17 EEST - 18.116.87.75

λως κώμη εὑρισκομένη εἰς τὴν ἀνατολικὴν πλευρὰν τοῦ Ἀφέντη τῆς Σητείας.

## 14

## ΜΝΕΙΑΙ ΤΗΣ ΜΟΝΗΣ ΑΓΚΑΡΑΘΟΥ

Εἰς χειρόγραφον περιέχον τὴν ἀποκάλυψιν τοῦ Ἰωάννου μετὰ σχολίων τοῦ ἐκ Καισαρείας Ἀνδρέου, εὑρισκόμενον δὲ εἰς τὴν Μαρκιανὴν Βιβλιοθήκην, ἀναγινώσκεται τὸ ἀκόλουθον σημείωμα: ,αφλβ' *νοεμβρί. ιη' αὕτη ἡ βίβλος ἀφιερώθη εἰς τὴν ὑπεραγίαν θεοτόκον τὴν ὑπονομαζομένην ἀγκάραθο ἐξ ἐμοῦ κλήμεντος μοναχοῦ καὶ ἀμετανοήτου· καὶ ὁ βουληθεὶς ἐξῶσαι καὶ ἀποξενῶσαι τῆς τοιαύτης ἁγίας μονῆς, ἐχέτω τὰς ἀρὰς τῶν ἱεροσύλων ὁμοίως τῶν ἁγίων πατέρων.* Ἀνεξαρτήτως τοῦ προβλήματος, ἂν ὁ περὶ οὗ ὁ λόγος Κλήμης ἦτο καὶ ὁ γραφεύς, ὄχι μόνον ὁ δωρητὴς τοῦ χειρογράφου [καὶ περὶ οὗ ἰδέ G. Castellani, Catalogus codd. gr. bibl. D. Marci Venetiarum (Venetiis MDCCCLXXXXV) 43 καὶ 81 καὶ Vogel-Gardthausen, Die griechischen Schreiber des Mittelalters und der Renaissance (Leipzig 1909) 232, 6], ἡ χρονολογία τῆς ἀφιερώσεως ἔχει σημασίαν διὰ τὴν ἱστορίαν τῆς μονῆς. Τὸ σημείωμα παρατίθεται κατὰ τὴν ἀνάγνωσιν τοῦ Castellani, ἔνθ' ἀνωτ.

Ἐπίσης εἰς χειρόγραφον ἀποκείμενον εἰς τὸ British Museum καὶ περιγραφόμενον εἰς Catalogue of additions to the manuscripts in the British Museum in the years 1888-1893 καὶ φέρον τὸν ἀριθμὸν 34.060 διασώζεται σημείωμα περὶ τοῦ θανάτου εἰς τὴν μονὴν Ἀγκαράθου τῶν μοναχῶν Νήφωνος, τῇ 18 Σεπτεμβρίου 1559, καὶ Γερμανοῦ, 10 Ἰανουαρίου 1572. Ἴδε ἔνθ' ἀν. σ. 182. Τὸ σημείωμα ἐπὶ τοῦ χειρογράφου ἔχει ὡς ἀκολούθως:

*† αφνθ' σεπτ(εμβ)ρ(ίου) ιη'. ἐκοιμήθη ὁ ἀοίδιμος καὶ σεβασμιώτατος ἐν ἱερο(μονά)χοις καὶ πν(ευματ)ικοῖς | π(ατ)ράσι κύρ νήφων ὁ πρωτοκαθηγούμ(εν)ος τῆς θείας καὶ ἱερᾶς μονῆς τῆς ὑπ(ερα)γ(ίας) Θ(εοτό)κου | τῆς ἀγκαράθου καὶ ὁ θ(εὸ)ς μακαρίσει καὶ ἀναπαύσει αὐτόν, ἔνθα οἱ δίκαιοι ἀναπαύονται.*

*† αφοβ' Ἰανουαρ(ίου) ι' ὥρα δη τῆς νυκτὸς ἡμέρα γη. ἐκοιμήθη ὁ μακαριώτατος | καὶ πανοσιώτατος ἐν ἱερομονάχοις καὶ πν(ευματ)ικοῖς πατράσι κύρ γερμανὸς | ὁ καθηγούμενος τῆς σεβασμίας καὶ εὐαγεστάτης μονῆς τῆς ὑπ(ερα)γ(ίας) Θ(εοτό)κου | τῆς ἀκροάνθου καὶ ὁ θ(εὸ)ς μακαρίσει αὐτὸν ἔνθα οἱ δίκαιοι ἀναπαύονται.*

ΒΑΣ. ΛΑΟΥΡΔΑΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
02/06/2024 10:38:17 EEST - 18.116.87.75